# ΚΑΛΛΙΝΙΚΟΥ Γ΄. ΠΑΤΡΙΑΡΧΟΥ ΚΠ

## ΕΠΙΣΤΟΛΑΙ ΚΑΙ ΑΛΛΑ ΕΓΓΡΑΦΑ

### ΕΚ ΤΩΝ ΚΩΔΙΚΩΝ ΤΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ ΖΑΓΟΡΑΣ*

---

### *Καλλινίκου ὁμολογία καὶ ἀπολογία*

(Κωδ. 113).

Πρὸς τοὺς μὴ ἐρευνῶντας τὸ ἑαυτῶν συνειδός, μηδὲ τὸ τοῦ Χριστοῦ δικαστήριον ἐνθυμουμένους καὶ ἀπὸ φθόνου καὶ κακίας μόνον διαθρυλλίσαντας ἡμᾶς ἐπὶ κακοδοξίᾳ, καὶ τοῖς καθ᾽ ἡμῶν στηλιτευτικοῖς γράμμασι πᾶσαν περικτυπήσαντας ἀκοήν, ἀπολογούμεθα ἐν φόβῳ Θεοῦ καὶ καθαρῷ ψυχῆς συνειδότι τὰς ἑξῆς ἀπολογίας καὶ ὁμολογίας, ἃς καὶ ἐνώπιον τοῦ φοβεροῦ κριτοῦ τοῦ ἐτάζοντος καρδίας καὶ νεφροὺς καὶ τὰ κρύφια ἡμῶν γινώσκοντος καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος ἐκφωνοῦμεν, ὁμολογοῦμεν καὶ ἰδίᾳ χειρὶ γράφομεν καὶ βεβαιοῦμεν.

Καὶ πρῶτον μὲν ἐκφωνοῦμεν καὶ ὁμολογοῦμεν τὸ τῆς εὐσεβοῦς ἡμῶν πίστεως ἅγιον σύμβολον, ὅπερ εὐθὺς τοῦ βαθμοῦ τῆς ἀρχιερωσύνης ἡμῶν ὡμολογήσαμεν καὶ αὐτοῦ τοῦ θείου βαπτίσματος, εἶτα δὲ τὰ ἑξῆς: «Εἴ τις οὐχ ὁμολογεῖ καὶ πιστεύει εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον, ἀνάθεμα ἔστω.

» Εἴ τις ἐπὶ τῆς ἁγίας Τριάδος, οὐχ ὁμολογεῖ μίαν θεότητα, μίαν κυριότητα, μίαν βασιλείαν, μίαν ἐξουσίαν, μίαν δύναμιν, μίαν ἐνέργειαν, ἀνάθεμα ἔστω.

» Εἴ τις οὐχ ὁμολογεῖ τὴν Ὑπερούσιον Τριάδα ἄναρχον, ἄκτιστον, ἀΐδιον, ἀτελεύτητον, ἀναλλοίωτον, ὁμόδοξον, ὁμοδύναμον, ἀμέριστον, ἀδιαίρετον, ἀκατάληπτον, πανσθενῆ καὶ πανάγαθον, ἀνάθεμα ἔστω.

» Εἴ τις οὐχ ὁμολογεῖ τὴν ἁγίαν Τριάδα, ἕνα Θεὸν εἶναι ὁμοούσιον, δημιουργὸν τοῦ παντός, ἀνάθεμα τρίς.

» Εἴ τις οὐχ ὁμολογεῖ τὸν ἕνα ἐν Τριάδι Θεόν, φῶς ἀκρότατον καὶ ἀπρόσιτον εἶναι, ἀνάθεμα τρίς.

» Εἴ τις οὐχ ὁμολογεῖ τὸν Πατέρα ἀγέννητον, τὸν Υἱὸν γεννητὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορευτὸν ἐκ μόνου τοῦ Πατρός, ἀνάθεμα.

» Εἴ τις οὐχ ὁμολογεῖ ἄναρχον τὸν Πατέρα, συνάναρχον τὸν Υἱόν, συνάναρχον ὁμοίως καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἀνάθεμα τρίς.

---

*] Συνέχεια ἐκ τοῦ ΚΕ′ τεύχους σελὶς 22.

» Εἴ τις οὐχ ὁμολογεῖ τὸν ἕνα ἐν Τριάδι Θεόν, ἀόριστον, αὐτεξούσιον, ἀπερίγραπτον Κύριον καὶ βασιλέα πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως, ἀνάθεμα ἔστω.

» Εἴ τις οὐχ ὁμολογεῖ καὶ πιστεύει, ὅτι τὰ πάντα ὁρατὰ καὶ ἀόρατα ὁ Πατὴρ διὰ τοῦ υἱοῦ ἐν ἁγίῳ Πνεύματι πεποιηκέναι καὶ πᾶσαν τὴν κτίσιν ἐκ μὴ ὄντων παραγαγεῖν, ἀνάθεμα.

» Εἴ τις οὐχ ὁμολογεῖ καὶ πιστεύει, ὅτι πάντα ὅσα δύναται ὁ Πατὴρ, δύναται καὶ ὁ Υἱὸς καὶ ὅσα ὁ Υἱὸς δύναται, δύναται καὶ Πνεῦμα τὸ ἅγιον, ἀνάθεμα ἔστω.

» Εἴ τις εἴπῃ ἐλάττονα τοῦ Πατρὸς τὸν Υἱὸν καὶ τοῦ Υἱοῦ τὸ ἅγιον Πνεῦμα, ἀνάθεμα ἔστω.

» Εἴ τις ὁμολογεῖ τὸν Πατέρα μείζονα τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον, καὶ οὐχὶ κατὰ τὸν τῆς αἰτίας, ὡς αἴτιον τὸν Πατέρα Υἱοῦ καὶ Πνεύματος, ἀνάθεμα.

» Εἴ τις οὐχ ὁμολογεῖ τὴν μίαν θεότητα τελείαν ἐν τῷ Πατρί, τελείαν ἐν τῷ Υἱῷ καὶ τελείαν ἐν τῷ ἁγίῳ Πνεύματι, ὡς ἀδιαίρετον καὶ ἀμέριστον καὶ ἀσύγχυστον, ἀνάθεμα.

» Εἴ τις οὐχ ὁμολογεῖ τὸν Υἱὸν ἄρρητον γέννημα τοῦ ἀνάρχου Πατρὸς ὁμόχρονον καὶ συναΐδιον, ἀνάθεμα.

» Εἴ τις οὐχ ὁμολογεῖ τὸ Πνεῦμα τὸ ἅγιον παρὰ μόνου τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον, ἀνάθεμα τρίς.

» Εἴ τις ἕτερον Θεὸν ὁμολογεῖ παρὰ τὸν Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὸν μόνον ἀληθινὸν Θεόν, ἀνάθεμα ἔστω.

» Εἴ τις οὐχ ὁμολογεῖ τὸν τοῦ Θεοῦ Λόγου καὶ Υἱὸν οἰκείῳ θελήματι, εὐδοκίᾳ Πατρὸς ἀϊδίου καὶ συνεργείᾳ τοῦ ἁγ. Πνεύματος σαρκωθῆναι διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν ἐκ τῆς καθαρᾶς καὶ ἀμολύντου Παρθένου Μαρίας, ἀνάθεμα τρίς.

» Εἴ τις οὐχ ὁμολογεῖ τὸν τοῦ Θεοῦ Λόγον καὶ Υἱὸν, ἕνα Υἱὸν καὶ μετὰ τὴν ἐνανθρώπησιν, ἀνάθεμα.

» Εἴ τις οὐχ ὁμολογεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ δύο φύσεων, θεότητος δηλ. καὶ ἀνθρωπότητος ἐν μιᾷ ὑποστάσει γνωριζόμενον ἀνάθεμα.

» Εἴ τις οὐχ ὁμολογεῖ αὐτὸν τέλειον ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι, ἀνάθεμα.

» Εἴ τις οὐχ ὁμολογεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, Υἱὸν Θεοῦ καὶ Θεὸν ἀληθινόν, ἀνάθεμα ἔστω.

» Εἴ τις οὐχ ὁμολογεῖ κατὰ τὰς τῶν ἁγίων θεοπνεύστους θεολογίας

καὶ τὸ τῆς Ἐκκλησίας εὐσεβὲς φρόνημα, τὸ τῆς Μεταμορφώσεως τοῦ Σωτῆρος ἡμῶν φῶς, ἄκτιστον καὶ φυσικὴν χάριν καὶ ἔλλαμψιν καὶ ἐνέργειαν ἐξ αὐτῆς τῆς θείας οὐσίας ἀεὶ προϊοῦσαν, ἀνάθεμα τρίς.

» Εἴ τις τέλος οὐκ ἀποδέχεται καὶ οὐχ ὁμολογεῖ καὶ οὐ φρονεῖ ἅπαντα τὰ ὑπὸ τῶν Οἰκουμενικῶν ἁγίων Συνόδων καὶ Πατέρων καὶ διδασκάλων τῆς ἁγίας ἡμῶν Ἐκκλησίας βεβαιωθέντα καὶ ψηφισθέντα καὶ δογματισθέντα, καὶ οὐ φυλάττει τὰς Ἐκκλησιαστικὰς διατάξεις καὶ οὐκ ἀποδέχεται οὓς ἐκεῖνοι ἀποδέχονται καὶ οὐκ ἀποστρέφεται καὶ ἀναθεματίζει, οὓς ἐκεῖνοι ἀπεστράφησαν καὶ ἀνεθεμάτισαν, ἀνάθεμα ἔστω.

† Καλλίνικος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως
καὶ Οἰκουμενικὸς Πατριάρχης.

καρδίᾳ, νῷ, ψυχῇ τε καὶ χείλεσι ὁμολογῶ οὕτω, καὶ φρονῶ καὶ δοξάζω καὶ πιστεύω καὶ κηρύττω. Τοὺς δ' ἄλλως πιστεύοντας καὶ δοξάζοντας τῷ ἀναθέματι καὶ ταῖς συνοδικαῖς καὶ πατερικαῖς ἀραῖς παραπέμπω, ὁμοῦ καὶ τοὺς συκοφάντας καὶ κακίᾳ μόνῃ κατηγόρους ἡμῶν, εἰ μὴ μετανοήσουσι καὶ ἐξομολογηθῶσι τὴν ἁμαρτίαν αὐτῶν, τῷ αὐτῷ ἀναθέματι, ἀραῖς καὶ δεσμοῖς παραπέμπω.

Γ. ΔΕΛΗΓΙΑΝΝΗΣ, Καθηγητὴς